δάκρυά τ' ἔδωκα καὶ κόμης ἀπηρξάμην[1],
πυρᾷ τ'[2] ἐπέσφαξ' αἷμα μηλείου φόνου,
λαθὼν τυράννους οἳ κρατοῦσι τῆσδε γῆς.
Καὶ τειχέων μὲν ἐντὸς οὐ βαίνω[3] πόδα,
δυοῖν[4] δ' ἅμιλλαν συντιθεὶς ἀφικόμην
πρὸς τέρμονας γῆς τῆσδ', ἵν' ἐκβάλω ποδὶ
ἄλλην ἐπ' αἶαν, εἴ μέ τις γνοίη σκοπῶν[5]
ζητοῦντ' ἀδελφὴν, φασὶ γάρ νιν ἐν γάμοις
ζευχθεῖσαν[6] οἰκεῖν, οὐδὲ παρθένον μένειν,
ὡς συγγένωμαι, καὶ φόνου συνεργάτιν
λαβὼν τά γ' εἴσω τειχέων[7] σαφῶς μάθω.
Νῦν οὖν, Ἕως γὰρ λευκὸν ὄμμ'[8] ἀναίρεται,
ἔξω τρίβου τοῦδ'[9] ἴχνος ἀλλαξώμεθα.
Ἢ γάρ τις ἀροτὴρ ἤ τις οἰκέτις γυνὴ
φανήσεται νῷν, ἥντιν' ἱστορήσομεν
εἰ τούσδε ναίει σύγγονος τόπους ἐμή.
Ἀλλ' εἰσορῶ γὰρ τήνδε προσπόλων τινὰ,
πηγαῖον ἄχθος[10] ἐν κεχαρμένῳ κάρᾳ
φέρουσαν, ἑζώμεσθα κἀκπυθώμεθα
δούλης γυναικὸς, ἤν τι δεξώμεσθ' ἔπος[11]
ἐφ' οἷσι, Πυλάδη, τήνδ' ἀφίγμεθα χθόνα.

ΗΛΕΚΤΡΑ.

(Στροφὴ α'.)

Σύντειν', ὥρα[12], ποδὸς ὁρμάν·
ὢ ἔμβα[13], ἔμβα κατακλαίουσα.
Ἰώ μοί μοι.
Ἐγενόμαν Ἀγαμέμνονος [κούρα],

οἶν

V. 95. Par. E. δυοῖν. D. δυεῖν. C. δυεῖν. Mox omnes ἁμίλλαις. ἅμιλλαν restituit Huetius in marg. ex. sui. — 96. Par. C. E. in marg. ἵν' ἐμβάλων (sic). — 107. Seidlerus maluit πρόσπολον, sed frustra. — 108. Libri alii ἐνκεχαρμένῳ (sic), al. ἐνκαιχαρμένην. Hinc scripsit Fixius ἐν κεχαρμένῳ, simul monens ducere alteram varietatem ad hanc scripturam ἐγκεχαρμένην κάρα. Sed nihili est verbum ἐγκείρειν, cedatque e Lexicis. — 115. Κούρα propter metrum inclusit Seidlerus. Idem mox καί μ' ἔτικτε, quod libri præbent καί με τέκε.